487 ἢ παρεὼν μὴ πίνε σύ δ᾽ ἔχε τοῦτο μάταιον
489 ἡ μὲν γὰρ φέρεται φιλοτήσιοσ, ἡ δὲ πρόκειται.
491 ἀρνεῖσθαι δ᾽ οὐκ οἶδασ. ἀνίκητοσ δέ τοι οὗτοσ,
493 ὑμεῖσ δ᾽ εὖ μυθεῖσθε παρὰ κρητῆρι μένοντεσ.
495 εἰσ τὸ μέσον φονεῦντεσ ἐνὶ καὶ σὺν ἅπασι
497 ἄφρονοσ ἀνδρὸσ ὁμῶσ καὶ σώφρονοσ οἶνοσ ὅταν δὴ
499 ἐν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδριεσ ἄνδρεσ,
501 καὶ μάλα περ πινυτοῦ τὸν ὑπὲρ μέτρον ἤρατο πίνων
503 οἰνοβαρῶ κεφαλὴν, ὄνομα κριταὶ καί με βιᾶται
505 ἡμετέρησ τὸ δὲ δῶμα περὶ τρέχει. ἀλά (λ) γ᾽ ἀναστὰσ,
507 καὶ νόον ἐν στήθεσσι δέδοικα δὲ μή τι μάταιον,
509 οἶνοσ πινόμενοσ πολλοῖσ κακὸν ἢν δέ τισ αὐτῶν
511 ἦλθεσ δὴ κλεάριστε βαθὺν διὰ πόντον ἀνύσασ
513 νηόσ τοι πλευρῇσιν ὑπὸ ζυγὰ θήσομεν ἡμεῖσ
515 τῶν δ᾽ ὄντων τὰ ἄριστα παρέξομεν ἢν δέ τισ ἔλθῃ
517 οὔτ᾽ ἔτι τῶν ὄντων ἀποθήσομαι οὔτ᾽ ἔτι μεῖζον
519 ἢν δέ τισ εἰρῶτα τὸν ἐμὸν βίον ὧδέ οἱ εἰπεῖν

folii 28v columna II.

452 οὐδ᾽ εὐρῶσ αἰεί δ᾽ ἄνθοσ ἔχει καθαρὸν
454 καὶ σώφρων οὕτωσ ὥσπερ ἄφρων ἐγένου,
456 οὕτωσ ὥσπερ νῦν οὐδ᾽ ἐνὸσ ἄξιοσ εἶ
458 οὐ γὰρ πηδαλίω πείθεται ὡσ ἄκατοσ.
460 πολλάκισ ἐκ νυκτῶν ἄλλον ἔχει λιμένα·
462 χρήμασι τῶν ἄνυσισ γίνεται οὐδεμία.
464 οὔτ᾽ ἀγαθὸν χαλεπῶ δ᾽ ἔργματι κῦδοσ ἔχει
466 μηδέ σε νικάτω κέρδοσ ὅτ᾽ αἰσχρὸν ἔθει
468 μηδὲ θύραζε κέλευ᾽ οὐκ ἐθελοντ᾽ ἰέναι
470 θωρηχθέντ᾽ οἴνω μαλθακὸσ ὕπνοσ ἕλοι
472 πᾶν γὰρ ἀναγκαῖον. χρῆμ᾽ ἀνιηρὸν ἔφυ
474 οὐ πάσασ νύκτασ γίνεται ἁβρὰ παθεῖν
476 ὕπνου λυσικάκου μνήσομαι οἴκάδ᾽ ἰὼν
478 οὔτέ τοι γὰρ νήφω, οὔτε λίην μεθύω.
480 τῆσ αὐτοῦ γλώσσησ καρτερὸσ οὐδὲ νόου·
482 αἰδεῖται δ᾽ ἔρδων οὐδὲν ὅταν μεθύῃ.
484 γινώσκων μὴ πίν᾽ οἶνον ὑπερβολάδην
486 γαστὴρ ὥστε κακὸν λάτριν ἐφημέριον
488 κωτίλλοισ αἰεὶ τοὔνεκά τοι μεθύεισ
490 τήν δε θεοῖσ σπένδεισ τήν δ᾽ ἐπὶ χειρὸσ ἔχεισ
492 ὃσ πολλὰσ πίνων μή τι μάταιον ἐρεῖ
494 ἀλλήλων ἔριδασ δὴν ἀπερυκόμενοι
496 χοὔτωσ συμπόσιον γίνεται οὐκ ἄχαρι
498 πίνηθ᾽ ὑπὲρ μέτρον κοῦφον ἔθηκε νόον
500 γινώσκουσ᾽ ἀνδρόσ δ᾽ οἶνοσ ἔδειξε νόον
502 ὥστε καταισχῦναι καὶ πρὶν ἐόντα σοφὸν
504 οἶνοσ ἀτὰρ γνώμησ οὐκ ἔτεγώ ταμίησ
506 πειρηθῶ μή πωσ καὶ πόδασ οἶνοσ ἔχει (η)
508 ἔρξω θωρηχθεὶσ καὶ μέγ᾽ ὄνειδοσ ἔχω
510 πίνῃ ἐπισταμένωσ, οὐ κακὸν ἀλλ᾽ ἀγαθὸν
512 ἔνθαδ᾽ ἐπ᾽ οὐδὲν ἔχοντ᾽ ὦ τάλαν οὐδὲν ἔχων.
514 κλεάριθ᾽, οἷ ἔχομεν χοῖα διδοῦσι θεοὶ.
516 σεῦ φίλοσ ὢν κατάκεισ᾽ ὡσ φιλότητοσ ἔχει(σ)
518 σῆσ ἕνεκα ξενίησ ἄλλοθεν οἰσόμεθα
520 ὡσ εὖ μὲν χαλεπῶσ ὡσ χαλεπῶσ δε μάλ᾽ εὖ

---

451 utrum ἰὸν scriptum sit an ἰὸσ an ἰὸν ex ἰὸσ correctum an ἰὸσ ex ἰὸν correctum, incertum est | 453 μεροσ sine accentu | 453 ὥσπαρ (sic) | 456 ἐνὸσ (sic) | 467 μηδένα ex μὴδένα correctum | 468 ἐθελοντ᾽ sine accentu | 471 κελευ᾽ ἀεκοντα sine accentibus | 476 οἴκάδ᾽ (sic) | 477 πέποσθαι proparoxytonon quidem est, sed fortasse spatii angustiis oppressus librarius sic scripsit pro eo, quod volebat, πεπόσθαι | 492 πολλὰσ ex πολλὰ factum, ut videtur | 495 ἅπασι scriptum est, non ἅπασιν | 501 ἤρατο ex ἤρατι correctum | 505 propter spatii angustias ἀλλά eo quo imitati sumus modo scriptum est | 516 ἔχεισ quam ἔχει scriptum esse multo probabilius est.

folii 29ʳ columna I.

521 ὥσθ' ἕνα μὲν ξεῖνον πατρώϊον οὐκ ἀπολείπειν
523 οὔ σε μάτην ὦ πλοῦτε βροτοὶ τιμῶσι μάλιστα
525 καὶ γάρ τοι πλοῦτον μὲν ἔχειν ἀγαθοῖσιν ἔοικεν
527 ὤμοι ἐγὼν ἥβησ καὶ γήραοσ οὐλομένοιο
529 οὐδέ τινα προὔδωκα φίλον καὶ πιστὸν ἑταῖρον
531 αἰεί μοι φίλον ἦτορ ἰαίνεται ὅππότ' ἀκούσω
533 χαίρω δ' εὖ πίνων καὶ ὑπ' αὐλητῆροσ ἀκούων
535 οὔ ποτε δουλίη κεφαλὴ ευθεῖα πέφυκεν
537 οὔτε γὰρ ἐκ σκίλλησ ῥόδα φύεται οὔθ' ὑάκινθοσ
539 οὔτισ ἀνὴρ φίλε κύρνε πέδασ χαλκεύεται αὐτῶ

541 δειμαίνω μὴ τήνδε πόλιν πολυπαίδη ὕβρις,
543 χρή με παρὰ στάθμην καὶ γνώμην τήνδε δικάσε
545 μάντεσιν οἰωνεῖσ τε καὶ αἰσθομένοισ ἱεροῖσιν
547 μηδένα πω κακότητι βιάζεο τῷ δὲ δικαίω,
549 ἄγγελοσ ἄφθογγοσ πόλεμον πολύδακρυν ἐγείρει
551 ἀλλ' ἵπποισ ἔμβαλε ταχυπτέρνοισι χαλινοὺσ
553 οὐ πολλὸν τὸ μεσηγὺ διαπρήξουσι κέλευθον
555 χρὴ τολμᾶν χαλεποῖσιν ἐν ἄλγεσι κείμενον ἄνδρα
557 φράζεο κίνδυνόσ τοι ἐπὶ ξυροῦ ἵσταται ἀκμῆσ
559 ὥστέ σε μήτε λίην ἀφνεὸν κτεάτεσσι γενέσθαι
561 εἴη μοι τὰ μὲν αὐτὸν ἔχειν τὰ δὲ πόλλ' ἐπιδοῦναι
563 κεκλῆσθαι δ' εἰσ δαῖτα παρέζεσθαι δὲ παρ' ἐσθλὸν
565 τοῦ συνιεῖν ὁπότ' ἂν τι λέγει σοφὸν ὄφρα διδαχθῆσ
567 ἥβη τερπόμενοσ παίζων. δηρὸν γὰρ ἔνερθεν,
569 ἄφθογγοσ. λείψω δ' ἐρατὸν φάοσ ἠελίοιο
571 δόξα μὲν ἀνθρώποισι κακὸν μέγα· πεῖρα δ' ἄριστον
573 εὖ ἔρδων εὖ πράττε τί κ ἄγγελον ἄλλον ἰάλλεισ
575 οἵ με φίλοι προδιδοῦσιν ἐπεὶ τόν γ' ἐχθρὸν ἀλεῦμαι,
577 ῥήδιον ἐξ' ἀγαθοῦ θεῖναι κακὸν ἢ κακοῦ ἐσθλὸν
579 ἐχθαίρω κακὸν ἄνδρα καλυψαμένη δὲ πάρειμι
581 ἐχθαίρω δὲ γυναῖκα περίδρομον ἄνδρα τε μάργον
583 ἀλλὰ τὰ μὲν προβέβηκεν ἀμήχανον ἐστι γενέσθαι
585 πᾶσι τοι κίνδυνοσ ἐπ' ἔργμασιν. οὐδέ τισ οἶδε
587 ἀλλ' ὁ μὲν εὐδοκιμεῖν πειρώμενοσ οὐ προνοήσασ,
589 τῶ δὲ καλῶσ ποιεῦντι θεὸσ περὶ πάντα τίθησι
591 τολμᾶν χρὴ τὰ διδοῦσι θεοὶ θνητοῖσι βροτοῖσι
593 μήτε κακοῖσι νοσοῦντα λυποῦ φρένα, μητ' ἀγαθοῖσι
595 ἄνθρωπ' ἀλλήλοισιν ἀπόπροθεν ὦμεν ἑταῖροι

folii 29ʳ columna II.

522 ξείνια δὲ πλέον' ἐστ' οὐ δυνατὸσ παρέχει(ν)
524 ἦ γὰρ ῥηϊδίωσ τὴν κακότητα φέρεισ
526 ἡ πενίη δὲ κακῶ σύμφοροσ ἀνδρὶ φέρ(ειν)
528 τοῦ μὲν ἐπερχομένου τῆσ δ' ἀπανι(σ)τ(α)μένησ
530 οὐδὲν ἐμῇ ψυχῇ δούλιον οὐδ(ὲν) ἔ(νι)
532 αὐλῶν φθεγγομένων ἱμερόεσ(σα)ν ὄ[πα]
534 χαίρω δ' εὔφθογγον χερσὶ λύρην ὀχέω(ν)
536 ἀλλ' αἰεὶ σκολιὴ καὐχένα λοξὸν ἔχει
538 οὐδέ ποτ' ἐκ δούλησ τέκνον ἐλευθέριον
540 εἰ μὴ ἐμὴν γνώμην ἐξαπατῶσι θεοὶ

ἀναυξησιν ἰωνικῶσ
542 ἥπερ κενταύρουσ ὠμοφάγουσ ὄλεσε
544 κύρνε δίκην ἶσον τ' ἀμφοτέροισι δόμεν
546 ὄφρα μὴ ἀμπλακίησ αἰσχρὸν ὄνειδοσ ἔχω
548 τῆσ εὐεργεσίασ οὐδὲν ἀρειότερον
550 κύρν' ἀπὸ τηλαυγέοσ φαινόμενοσ σκοπιῆσ
552 δηΐων γάρ σφ' ἀνδρῶν ἀντιάσειν δοκέω
554 εἰ μὴ ἐμὴν γνώμην ἐξαπατῶσι θεοὶ
556 πρόσ τε θεῶν αἰτεῖν ἔκλυσιν ἀθανάτων
558 ἄλλοτε πόλλ' ἔξησ ἄλλοτε παυρότερα
560 μήτε σέ γ' ἐσ πολλὴν χρημοσύνην ἐλάσαι
562 χρήματα τῶν ἐχθρῶν τοῖσι φιλοισιν ἔχειν
564 ἄνδρα χρεὼν σοφίην πᾶσαν ἐπιστάμενον
566 καὶ τοῦτ' εἰσ οἶκον κέρδοσ ἔχων ἀπίησ
568 γῆσ ὀλέσασ ψυχὴν κείσομαι ὥστε λίθοσ
570 ἔμπησ δ' ἐσθλὸσ ἐὼν ὄψομαι οὐδὲν ἔτι
572 πολλοὶ ἀπείρητον δόξαν ἔχουσ' ἀγαθῶν
574 τῆσ εὐεργεσίασ ῥηϊδίη ἀγγελίη
576 ὥστε κυβερνήτησ χειράδασ εἰναλίουσ
578 μή με δίδασκ' οὔ τι τηλίκοσ εἰμὶ μαθεῖν
580 μικρῆσ ὄρνιθοσ κοῦφον ἔχουσα νόον
582 ὃσ τὴν ἀλλοτρίην βούλεται ἄρουραν ἀροῦν
584 ἔργα τά δ' ἐξοπίσω τῇ φυλακῇ μελέτω
586 ποῖ σχήσειν μέλλει πρήγματοσ ἀρχομένου
588 εἰσ μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσε
590 συντυχίην ἀγαθὴν ἔκλυσιν ἀφροσύνησ.
592 ῥηϊδίωσ δὲ φέρειν ἀμφοτέρων τὸ λάχοσ
594 τερφθῆσ ἐξ ἀπίνησ πρὶν τέλοσ ἄκρον ἰδεῖν
596 πλὴν πλούτου παντὸσ χρήματοσ ἐστὶ κόροσ

---

528 quinque ultimarum litterarum lectio non prorsus certa quidem est, attamen admodum veri similis | 531 vocabuli paenultimi prima littera duplici spiritu, et leni et aspero, instructa est | 535 δουλίη ex δουλείη correctum | 535 ευθεῖα sine spiritu | 542 verba ἀναυξησιν (sic) ἰωνικῶσ supra lineam scripsit ipsa prima manus | 543 δικάσε (sic) | 545 οἰωνεῖσ (sic) | 562 φιλοισιν sine accentu | 564 σοφίην ex σοφίαν correctum | 565 ἂν (sic) | 566 κέρδοσ ex κέρδον correctum, ut videtur | 573 τί κ ἄγγελον (sic) | 576 εἰναλίουσ quam εἰναλίασ scriptum esse aliquanto probabilius est | 593 μητ' sine accentu | 594 ἰδεῖν fortasse ex ἰδεῖν correctum | 595 ἀλλήλοισιν (sic).

folii 29ᵛ columna I.

597 δὴν δὴ καὶ φίλοι ὦμεν ἀταρ τ' ἄλλοισιν ὁμιλεῖν
599 οὔ μ' ἔλαθες φοιτῶν κατ' ἀμαξιτὸν ἣν ἄρα καὶ πρὶν
601 ἔρρε θεοῖσιν ἐχθρὲ καὶ ἀνθρώποισιν ἄπιστε
603 τοιά(δε καὶ) μάγνητας ἀπώλεσεν ἔργα καὶ ὕβρις
605 πολλῶ τοι πλέονας λοιμοῦ κόρος ὤλεσεν ἤδη
607 ἀρχῆ ἐπὶ ψεύδους μικρὰ χάρις εἰς δὲ τελευτὴν,
609 γίνεται οὐδε τι καλὸν ὅτῳ ψεύδος προσομαρτεῖ
611 οὐ χαλεπὸν ψέξαι τὸν πλησίον οὐδέ μεν αὐτὸν
613 σιγᾶν δ' οὐκ ἐθέλουσι κακοὶ κακὰ λεσχάζοντες.
615 οὐδένα παμπήδην ἀγαθὸν καὶ μέτριον ἄνδρα
617 οὔτι μάλ' ἀνθρώποις καταθύμια πάντα τελεῖται
619 πόλλ' ἐν ἀμηχανίησι κυλίνδομαι ἀχνύμενος κῆρ
621 πᾶς τις πλούσιον ἄνδρα τίει ἀτίει δὲ πενιχρὸν
623 παντοῖαι κακότητες ἐν ἀνθρώποισιν ἔασσι
625 ἀργαλέον φρονέοντα παρ' ἄφροσι πόλλ' ἀγορεύειν
627 αἰσχρόν τι μεθύοντα παρ' ἀνδρᾶσι νήφουσ' εἶναι
629 ἥβη καὶ νεότης ἐπικουφίζει νόον ἀνδρὸς
631 ὧ περ μὴ θυμοῦ κρείσσων νόος, αἰὲν ἐν ἄταις
633 βουλεύου δὶς καὶ τρὶς ὅ τι κ' επὶ τὸν νόον ἔλθῃ
635 ἀνδράσι τοῖς ἀγαθοῖς ἕπεται γνώμη τε καὶ αἰδὼς
637 ἐλπὶς καὶ κίνδυνος ἐν ἀνθρώποισιν ὁμοῖοι
639 πολλάκι πὰρ δόξαν τε καὶ ἐλπίδα γίνεται εὑρεῖν,
641 οὔ τοι κήσει ὁ εἶς οὔτ' εὔνουν οὔτε τὸν ἐχθρὸν.
643 πολλοὶ πὰρ κλήτορι φίλοι γίνονται ἑταῖροι
645 παύρους κηδεμόνας πιστοὺς εὕροις κεν ἑταίρους,
647 ἤδη νῦν αἰδὼς μὲν ἐν ἀνθρώποισιν ὄλωλεν
649 ἆ δειλὴ πενίη τί ἐμοῖσι καθημένη ὤμοις
651 αἰσχρὰ δέ μ' οὐκ ἐθέλοντα βίῃ καὶ πολλὰ διδάσκεις
653 εὐδαίμων εἴην καὶ θεοῖς φίλοις ἀθανάτοισι
655 σὺν σοὶ κῦρνε παθόντι κακῶς ἀνιώμεθα πάντες
657 μηδὲν ἄγαν χαλεποῖσιν ἀσῶ φρένα μηδ' ἀγαθοῖσι
659 οὐδ' ὀμόσαι χρὴ τοῦτο μήποτε πρᾶγμα τόδ' ἔσται
661 καὶ πρῆξαι μέντοι τί· καὶ ἐκ κακοῦ ἐσθλὸν ἔγεντο
663 αἶψα μάλ' ἐπλούτησε. καὶ ὃς μάλα πολλὰ πέπᾶσται,
665 καὶ σώφρων ἥμαρτε. καὶ ἄφρονι πολλάκι δόξα
667 εἰ μὲν χρήματ' ἔχοιμι σιμωνίδη οἷα περ ἤδειν

folii 29ᵛ columna II.

598 ἀνδράσιν οἳ τὸν σὸν μᾶλλον ἴσασι νόον
600 ἠλάστρεις κλέπτων ἡμετέρην φιλίην
602 ψυχρὸν ὃς ἐν κόλπω ποικίλον εἶχες ὄφιν
604 οἷα τα νῦν ἱερὴν τήνδε πόλιν κατέχει
606 ἄνδρας ὅσοι μοίρης πλεῖον ἔχειν ἔθελον
608 αἰσχρὸν δὴ κέρδος καὶ κακὸν ἀμφότερον
610 ἀνδρί· κἂν ἐξέλθῃ πρῶτον ἀπὸ στόματος
612 αἰνῆσαι. δειλοῖς ἀνδράσι ταῦτα μέλει
614 οἱ δ' ἀγαθοὶ πάντων μέτρον ἴσασιν ἔχειν
616 τῶν νῦν ἀνθρώπων ἠέλιος καθορᾶ
618 πολλῶν γὰρ θνητῶν κρέσσονες ἀθάνατοι
620 ἄκρην γὰρ πενίην οὐχ' ὑπερεδράμομεν
622 πᾶσι δ' ἀνθρώποις αὐτὸς ἔνεστι νόος.
624 παντοῖ δ' ἀρεταὶ καὶ βιότου παλαμαι
626 καὶ σιγᾶν αἰεὶ τοῦτο γὰρ οὐ δυνατὸν
628 αἰσχρόν δ' εἰ νήφων παρὰ μεθύουσι μένει
630 πολλῶν δ' ἐξαίρει θυμὸν ἐς ἀμπλακίην
632 κῦρνε καὶ μεγάλαις κεῖται ἐναμπλακίαις
634 ἀτειρὸς γάρ τοι λάβρος ἀνὴρ τελέθει.
636 οὐ νῦν μὲν πολλοῖς. ἀτρεκέως δ' ὀλίγοις
638 οὗτοι γὰρ χαλεποὶ δαίμονες ἀμφότεροι
640 ἔργ' ἀνδρῶν. βουλαῖς δ' οὐκ επέγεντο τέλος
642 εἰ μὴ σπουδαίου πρήγματος ἀντιτύχῃς.
644 ἐν δὲ σπουδαίω πρήγματι παυρότεροι
646 κείμενον ἐν μεγαλη θυμὸν ἀμηχανίῃ
648 αὐτὰρ ἀναιδίη γαῖαν ἐπιστρέφεται
650 σῶμα καταισχύνεις καὶ νόον ἡμέτερον
652 ἐσθλὰ παρ' ἀνθρώπων καὶ κάλα ἐπιστάμενος
654 κῦρν' ἀρετῆς ἄλλης οὐδεμιᾶς ἔραμαι
656 ἀλλά τοι ἀλλότριον κῆδος ἐφημέριον
658 χαῖρ' ἐπεὶ ἔστ' ἀνδρὸς πάντα φέρειν ἀγαθοῦ
660 θεοὶ γάρ τε νεμεσῶσ' οἷσιν ἔπεστι τέλος.
662 καὶ κακὸν ἐξ ἀγαθοῦ. καί τε πενιχρὸς ἀνὴρ,
664 ἐξ ἀπίνης πάντα ὤλεσε νυκτὶ μιᾶ
666 ἕσπετο καὶ τιμή. καὶ κακὸς ὢν ἔλαχεν
668 οὐκ ἀνιώμην τοῖσιν ἀγαθοῖσι συνώ[ν]

---

597 ἀταρ sine accentu | 604 τα ex τά correctum | 607 ἀρχῆ vocabulum accentu circumflexo instructum est, nisi omnia fallunt | 607 ἐπὶ scriptum est, non ἔπι | 609 οὐδε sine accentu | 609 ψεύδος (sic) | 624 παλαμαι sine accentu | 632 ἐναμπλακίαις an ἐνάμπλακίαις incertum | 633 κ' επὶ an κἐπὶ incertum | 640 επέγεντο sine spiritu | 646 μεγαλη sine accentu | 647 ὄλωλεν ex ὤλολεν correctum | 653 φίλοις (sic) | 657 μηδὲν ex μήδὲν correctum | 663 vocabuli πέπᾶσται (sic fere) prius α inter scribendum ex ρ correctum est | 664 μιᾶ ex μία correctum, ut videtur.

folii 30r columna I.	folii 30r columna II.
669 [ν]ῦν δέ με γινώσκοντα παρέρχεται. εἰμί δ' ἄφωνοσ	670 χρημοσύνη. πολλῶν γνούσ ἄμεινον ἔτι
671 οὕνεκα νῦν φερόμεθα καθιστία λευκὰ βάλλοντεσ	672 μηλίου ἐκ πόντου νύκτα διὰ δνοφερὴν
673 ἀντλεῖν δ' οὐκ ἐθέλουσιν ὑπερβάλλει δὲ θάλασσα,	674 ἀμφοτέρων τοίχων. ἦ μάλα τίσ χαλεπῶσ
675 σώζεται· οἵδ' ἔρδουσι κυβερνήτα μὲν ἔπαυσαν	676 ἐσθλὸν δ' ὃσ φυλακὴν εἶχεν ἐπισταμένωσ
677 χρήματα δ' ἁρπάζουσι βίη κόσμοσ δ' ἀπόλωλε	678 δασμόσ δ' οὐκέτ' ἴσοσ γίνεται εἰσ τὸ μέσον
679 φορτηγοὶ δ' ἄρχουσι. κακοί δ' ἀγαθῶν καθύπερθε	680 δειμαίνω μή πωσ ναῦν κατὰ κῦμα πί(η)
681 ταῦτα μοι ἠνίχθω κεκρυμμένα τοῖσ ἀγαθοῖσι	682 γινώσκει δ' ἄν τισ καὶ κακὸν ἂν σοφ[ὸσ] ἦ.
683 πολλοὶ πλοῦτον ἔχουσιν ἀΐδριεσ. οἱ δὲ τὰ καλὰ	684 ζητοῦσι χαλεπῆ τειρόμενοι πενίη
685 ἔρδειν τ' ἀμφοτέροισιν ἀμηχανίη παράκειται	686 εἴργει γὰρ τοὺσ μὲν, χρήματα τοὺσ δὲ, νόοσ
687 οὐκέστι θνητοῖσι πρὸσ ἀθανάτουσ μαχέσασθαι.	688 οὐδὲ δίκην εἰπεῖν οὐδενὶ τοῦτο θέμισ
689 οὐ χρὴ πημαίνειν ὅτε μὴ πημαντέον εἴη	690 οὐδ' ἔρδειν ὅ τε μὴ λώϊον ἦ τελέσαι
691 χαίρων εὖ τελέσειασ ὁδὸν μεγάλου διὰ πόντου,	692 καί σε ποσειδάων χάρμα φίλοισ ἀγάγη
693 πολλούσ τοι κόροσ ἄνδρασ ἀπώλεσεν ἀφραίνοντασ	694 γνῶναι γὰρ χαλεπὸν μέτρον ὅτ' ἐσθλὰ παρῆ
695 οὐ δύναμαί σε θυμὲ παρασχεῖν ἄρμενα πάντα	696 τέθλαθι· σῶν δὲ καλῶν οὔτι σὺ μόνοσ ἐρᾶσ
697 εὖ μὲν ἔχοντοσ ἐμοῦ, πολλοὶ φίλοι· ἢν δέ τι δεινὸν	698 ἐγκύρση, παῦροι πιστὸν ἔχουσι νόον
699 πλήθει δ' ἀνθρώπων ἀρετὴ μίη γίνεται ἥδε	700 πλουτεῖν. τῶν δ' ἄλλων οὐδὲν ἄρ' ἦν ὄφελοσ
701 οὐδ' εἰ σωφροσύνην μὲν ἔχεισ ῥαδαμάνθυοσ αὐτοῦ	702 πλείονα δ' εἰδείησ αἰολίδου σισύφου
703 ὅσ τε καὶ ἐξ ἀΐδαο πολυδρίησιν ἀνῆλθε	704 πείσασ περσεφόνην αἱμυλίοισι λόγοισ
705 ἥτε βροτοῖσ παρέχει λήθην βλάπτουσαν νόοιο	706 ἄλλοσ δ' οὔπω τίσ τοῦτο γ' ἐφράσατο,
707 ὅν τινα δὴ θανάτοιο μέλαν νέφοσ ἀμφικαλύψοι	708 ἔλθη δ' ἐσ σκιερὸν χῶρον ἀποφθιμένων
709 κυανέασ τε πύλασ παραμείψεται αἵ τε θανόντων	710 ψυχὰσ εἴργουσι καίπερ ἀναινομένασ·
711 ἀλλ' ἄρα κακεῖθεν παλιν ἤλθε σισύφοροσ γ' ἥρωσ	712 ἐσ φάοσ ἠελίου σφῆσι πολυφροσύναισ
713 οὐδ' εἰ ψεύδεα μὲν ποιεῖσ ἐτύμοισιν ὁμοῖα	714 γλῶσσαν ἔχων ἀγαθὴν νέστωροσ ἀντιθέου
715 ὠκύτεροσ δ' εἴησθα πόδασ ταχέων ἁρπυίων	716 καὶ παίδων βορέου τῶν ἄφαρ εἰσὶ πόδεσ
717 ἀλλὰ χρὴ πάντασ γνώμην ταύτην καταθέσθαι,	718 ὡσ πλοῦτοσ πλείστην πᾶσιν ἔχει δύναμιν
719 ἶσόν τοι πλουτοῦσιν ὅτῳ πολὺσ ἄργυροσ ἐστὶ	720 καὶ χρυσὸσ καὶ γῆσ πυροφόρου πεδία
721 ἵπποι θ' ἡμίονοί τε, καὶ ᾧ τὰ δέοντα πάρεστι	722 γαστρὶ τὲ καὶ πλευραῖσ καὶ ποσὶν ἁβρὰ παθεῖν
723 παιδόσ τ' ἠδὲ γυναικόσ ὅταν δέ κε τῶν ἀμφίκηται,	724 ὥρη σὺν δ' ἥβη γίνεται ἁρμόδιον
725 ταῦτ' ἄφενοσ θνητοῖσι τὰ γὰρ περιώσια πάντα	726 χρήματ' ἔχων, οὐδεὶσ ἔρχεται ἐσ ἀΐδεω
727 οὐδ' ἂν ἄποινα διδοὺσ θάνατον φύγη οὐδὲ βαρείασ,	728 νούσουσ· οὐδὲ κακὸν γῆρασ ἐπερχόμενον
729 φροντίδεσ ἀνθρώπων ἔλαχον πτερὰ ποικίλ' ἔχουσαι	730 μυρόμεναι ψυχῆσ εἵνεκα καὶ βιότου
731 ζεῦ πάτερ εἴθε γένοιτο θεοῖσ φίλα τοῖσ μὲν ἀλιτροῖσ	732 ὕβριν ἀδεῖν. καί σφιν τοῦτο γένοιτο φίλον,
733 θυμῷ σχέτλια ἔργα μετὰ φρεσί θ' ὅστισ ἀθήνησ	734 ἐργάζοιτο θεῶν μηδὲν ὀπιζόμενοσ,
735 αὐτὸν ἔπειτα πάλιν τίσαι κακὰ· μηδέ τ' ὀπίσω	736 πατρὸσ ἀτασθαλίᾳ παισὶ γένοιτο κακὸν
737 παῖδεσ θ' οἵτ' ἀδίκου πατρὸσ τὰ δίκαια νοεῦντεσ	738 ποιοῦσι κρονίδη σὸν χόλον ἀζόμενοι
739 ἐξ ἀβχῆσ τὰ δίκαια μετ' ἀστοῖσι φιλέοντεσ,	740 μή τιν' ὑπερβασίην ἀντιτίνειν πατέρων
741 ταῦτ' εἴη μακάρεσσι θεοῖσ φίλα· νῦν δ' ὁ μὲν ἔρδων,	742 ἐκφεύγει· τὸ κακόν δ' ἄλλοσ ἔπειτα φέρει

670 in fine nihil amplius scriptum fuisse probabilius est quam alias (2—3) etiam litteras secutas esse | 681 κεκρυμμένα ex κεκριμμένα correctum | 683 ante hunc versum scriptum est: γνώμη (hoc autem fere compendio usus est librarius et hic et alibi: $\overset{\omega}{\gamma\nu}$) itemque post v. 693 et ante v. 697 | 684 vocabuli τειρόμενοι littera prima aut τ ex π correcta est aut π est | 711 παλιν sine accentu | 711 ἤλθε σισύφοροσ (sic) | 716 πόδεσ correctum est aut ex πάδεσ aut ex πήδεσ | 724 ἁρμόδιον quam ἁρμόδιοσ scribere voluisse librarium paulo probabilius est; videtur autem librarius primum ἁρμόδιοι scripsisse idque ita correxisse, ut ultima littera invito librario propius ad σ quam ad ν litterae formam accederet | 733 φρεσί ita scriptum est, ut supra σ duo extare videantur spiritus (lenis et asper) | 739 ἀβχῆσ aut ἀ$\overset{\eta}{\rho}$χῆσ (non ἀ$\overset{\kappa}{\rho}$χῆσ) scriptum est.

folii 30ᵛ columna I.

743 [καὶ] τοῦτ' ἀθανάτων βασιλεῦ πῶσ ἐστι δίκαιον
745 μή τιν' ὑπερβασίην κατέχων μήθ' ὅρκον ἀλιτρὸν,
747 τίσ δὴ καὶ βροτὸσ ἄλλοσ ὁρῶν πρὸσ τοῦτον ἔπειτα,
749 ὁ(ππ)ότ' ἀνὴρ ἄδικοσ καὶ ἀτάσθαλοσ οὔτε τευ ἀνδρον
751 ὑβρίζει πλούτω κεκορημένοσ. οἱ δὲ δίκαιοι
753 ταῦτα μαθὼν φίλ' ἑταῖρε δικαίωσ χρήματα ποιοῦ
755 α(ἰ)εὶ τῶνδ' ἐπέων μεμνημένοσ. εἰσ δὲ τελευτὴν,
757 ζεῦσ μὲν τῆσδε πόλῆοσ ὑπειρέχει αἰθέρι νέων
759 ἄλλοι τ' ἀθάνατοι μάκαρεσ θεοὶ αὐτὰρ ἀπόλλων,
761 φόρμιγγ' αὖ φθέγγοιθ' ἱερὸν μελοσ ἠδὲ καὶ αὐλῶ
763 πίνωμεν χαρίεντα μετ' ἀλλήλοισι λέγοντεσ
765 ὧδ' εἶναι. καὶ ἀμείνονα εὔφρονα θυμὸν ἔχοντασ,
767 τερπομένουσ. τηλοῦ δὲ κακὰσ ἀπὸ κῆρασ ἀμῦναι
769 χρὴ μουσῶν θεράποντα καὶ ἄγγελον εἴ τι περισσὸν
771 ἀλλὰ τὰ μὲν μῶσθαι τὰ δὲ δεικνύειν. ἄλλα δὲ ποιεῖν
773 φοῖβε ἄναξ αὐτὸσ μὲν ἐπύργωσασ πόλιν ἄκρην,
775 αὐτὸσ δὲ στρατὸν ὑβριστὴν μήδων ἀπέρυκε
777 ἦροσ ἐπερχομένου, κλειτὰσ πέμπωσ' ἑκατόμβασ
779 παιάνων τὲ χοροῖσ ἰαχαῖσί τε τὸν περὶ βωμὸν
781 καὶ στάσιν ἑλλήνων λαοφθόρων. ἀλλὰ σὺ φοῖβε
καὶ
783 ἦλθον μὲν γὰρ ἔγωγε εἰσ σικελήν ποτε γαῖαν
ἀγλαὸν
785 σπάρτην δ' εὐρώτα δονακοτρόφον ἱερὸν ἄστυ
787 ἀλλ' οὔτισ μοι τέρψισ ἐπὶ φρένασ ἦλθεν ἐκείνων
789 μή ποτέ μοι μελέδημα ἄλλο φανείη
791 τερποίμην φόρμιγγι καὶ ὀρχθημῶ καὶ ἀοιδῇ.
793 μήτέ τινα ξεῖνον δειλεύμενοσ ἔργμασι λυγροῖσ,
795 τὴν σαυτοῦ φρένα τέρπε. δυσηλεγέων τὲ πολιτῶν,
797 τοὺσ ἀγαθοὺσ, ἄλλοσ μάλα μέμφεται ἄλλοσ ἐπαινεῖ
799 ἀνθρώπων δ' ἄψεκτοσ ἐπὶ χθονὶ, γίνεται οὐδεὶσ
801 οὐδεὶσ ἀνθρώπων οὐτέσσεται οὐδὲ πέφυκεν,
803 οὐδε γὰρ ὃσ θνητοῖσι καὶ αθανάτοισιν ἀνάσσει,
805 τόρνου καὶ στάθμησ καὶ γνώμονοσ ἄνδρα θεωρῶν
807 ὧ τινι κεν πιθῶνι θεὸσ χρήσασ ἱερεῖα,
809 οὔτέ τι γὰρ προσθεὶσ οὐδὲν κέτι φάρμακον εὕροισ
811 χρῆμ' ἔπαθον θανάτου μὲν ἀεικέοσ οὔτι κάκιον
813 οἵ με φίλοι προὔδωκαν ἐγὼ δ' ἐχθροῖσι πελασθεὶσ
815 βοῦσ μοι ἐπὶ γλώσσησ κρατερῶ ποδὶ λὰξ ἐπιβαίνων,

folii 30ᵛ columna II.

744 ἔργων ὅστισ ἀνὴρ ἐκτὸσ ἐὼν ἀδίκων,
746 ἀλλὰ δίκαιοσ ἐὼν, μὴ τὰ δίκαια πάθῃ
748 ἅζοιτ' ἀθανάτουσ καὶ τίνα θυμὸν ἔχων,
750 οὔτε τι ἀθανάτων μῆνιν ἀλευόμενοσ
752 τρύχονται χαλεπῇ τειρόμενοι πενίῃ
754 σώφρονα θυμὸν ἔχων ἐκτὸσ ἀτασθαλίησ
756 αἰνήσεισ μύθω σώφρονι πειθόμενοσ
758 αἰεὶ δεξιτερὴν χεῖρ' ἐπαπημοσύνῃ
760 ἀρθρῶσαι γλῶσσαν καὶ νόον ἡμέτερον
762 ἡμεῖσ δε σπονδὰσ θεοῖσιν ἀρεσσόμενοι,
764 μηδὲν τον, μήδων δειδιότεσ πόλεμον
766 νόσφι μεριμνάων εὐφροσύνωσ διάγειν,
768 γῆρασ τ' οὐλόμενον καὶ θανάτοιο τέλοσ
770 εἰδείη σοφίησ, μὴ φθονερὸν τελέθειν
772 τί σφιν χρήσεται μοῦνοσ ἐπιστάμενοσ
774 ἀλκοθοώ πέλοποσ παιδὶ χαριζόμενοσ
776 τῆσδε πόλευσ. ἵνα σοι λαοὶ ἐν εὐφροσύνῃ
778 τερπόμενοι κιθάρῃ καὶ ἐρατῇ θαλίῃ
780 ἦ γαρ ἔγωγε δέδοικ' ἀφραδίην ἐσορῶν
782 ἵλαοσ ἡμετέρην τήνδε φύλασσε πόλιν
784 ἦλθον δ' εὐβοίησ ἀμπελόεν πεδίον
786 καί μ' ἐφίλευν προφρόνωσ πάντεσ ἐπερχόμενον
788 οὕτωσ οὐδὲν ἄρ' ἦν φίλτερον ἄλλο πάτρησ
790 ἀντ' ἀρετῆσ σοφίησ. ἀλλὰ τόδ' αἰὲν ἔχων,
792 καὶ μετὰ τῶν ἀγαθῶν ἐσθλὸν ἔχοιμι νόον
794 μήτέ τιν' ἐνδήμων· ἀλλὰ δίκαιοσ ἐὼν,
796 ἄλλοσ τοῖσδε κακῶσ. ἄλλοσ ἀμεῖνον ἐρεῖ
798 τῶν δε κακῶν μνήμη γίνεται οὐδεμία
800 ἀλλ' ὡσ λῷϊον ὃ μὴ πλεόνεσσι μέλοι
802 ὅστισ πᾶσαν ἀδῶν, δύσεται εἰσ ἀΐδου
804 ζεὺσ κρονίδησ θνητοῖσ πᾶσιν ἀδεῖν δύναται
806 εὐθύτερον χρὴ μὲν κύρνε φυλασσόμενον,
808 ὀμφὴν σημήνῃ πίονοσ ἐξ αδύτου
810 οὐδ' ἀφελὼν πρὸσ θεῶν ἀμπλακίην προφύγησ
812 τῶν δ' ἄλλων πάντων κύρν' ἀνιηρότατον
814 εἰδήσω καὶ τὸν, ὄντιν' ἔχουσι νόον
816 ἴσχει κωτίλλειν καίπερ ἐπιστάμενον

749 οὔτε scriptum est, non οὐτέ | 749 in fine ἀνδρον quam ἄνδρωσ scripturae compendio significari aliquanto probabilius est | 757 πόλιοσ ex πόλησ correctum | 761 μελοσ sine accentu | 764 τον sine accentu | 767 vocabuli ἀμῦναι littera tertia inter scribendum correctione effecta est | 774 ἀλκοθοώ scriptum quidem est, quod tamen tamquam ἀλκοθόω intellexisse librarium veri non est dissimile | 780 γαρ sine accentu | 791 ὀρχθημῶ (sic) ‖ in margine exteriore ante versus 797. 799. 801 scriptum est: ὡραῖον (per compendium) | τοῦτο | ὅλου (sic, non ὅλον) ‖ 800 λῷϊον litteris ῷϊ ex incerta littera et η correctis | 803 οὐδε sine accentu | 803 αθανάτοισιν sine spiritu | 808 αδύτου sine spiritu | 814 ὄντιν' (sic).

folii 31ʳ columna I.

817 ⟨κ⟩ύρν' ἔμπησ δ' ὅ τι μοῖρα παθεῖν οὐκ ἔσθ'
819 ἐσ πολὺ ἄρρητον κακὸν ἥκομεν ἔνθα μάλιστα
821 ὀὺκ ἀπογηράσκοντασ ἀτιμάζουσι τοκῆασ,
823 μητέ τιν' αὔξε τύραννον ἐπ' ἐλπισι κέρδευσ εἶναι,
825 πῶσ ἡμῖν τέτληκεν ὑπ' αὐλητῆροσ ἀείδειν
827 (ἥ)τε τρέφει καρποῖσιν ἐνηλαπίναισ φορέοντασ
829 ἀλλ' ἄγε δὴ σκύθα κεῖρε κόμην ἀπόπαυε δὲ κῶμον
831 πίστει χρήματ' ὤλεσα ἀπιστίη δ' ἐσάωσα
833 πάντα τάδ' ἐν κοράκεσσι καὶ ἐν φθορᾶ οὐδέ τισ ἡμῖν
835 ἀλλ' ἀνδρῶν τε βίη καὶ κέρδεα πολλὰ καὶ ὕβρισ,
837 δισσαί τοι πόσιοσ κῆρεσ δειλοῖσι βροτοῖσι
839 τούτων δ' ἂν τὸ μέσον στρωφήσομαι οὐδέ με πείσεισ
841 οἶνοσ ἐμοὶ τὰ μὲν ἄλλα χαρίζεται ἕν δ' ἀχάριστοσ
843 ἀλλ' ὁπόταν καθύπερθεν ἐὼν ὑπένερθε γένηται
845 ⟨ε⟩ὖ μὲν κείμενον ἄνδρα κακῶσ θέμεν, εὐμαρέσ ἐστιν
847 λὰξ ἐπίβα δήμω κενεόφρονι τύπτε δὲ κέντρω,
849 οὐ γαρ ἔθ' εὑρήσεισ δῆμον φιλοδέσποτον ὧδε,
851 ζεῦσ ἄνδρ' ἐξολέσειεν ὀλύμπιοσ ὃσ τὸν ἑταῖρον
853 ἠδέα μὲν καὶ πρόσθεν ἀτὰρ πολυ λώϊα ἢ νῦν,
855 πολλάκισ ἡ πόλισ ἥδε δι' ἡγεμόνων κακότητα,
857 τῶν δὲ φίλων εἰ μέν τισ ὁρᾶ μέ τι δεινὸν ἔχοντα,
859 ἢν δέ τι μοι ποθὲν ἐσθλὸν ἃ πολλάκι γίνεται ἀνδρὶ,
861 οἵ με φίλοι προδιδοῦσι καὶ οὐκ ἐθέλουσι τί δοῦναι
863 ἑσπερίη τ' ἔξειμι καὶ ὀρθρίη αὐτῆσ ἔσειμι
865 πολλοῖσ ἀχρήστοισι θεὸσ διδοῖ ὄλβον ἀνδράσιν
867 οὔτε φίλοισ· ἀρετῆσ δὲ μέγα κλέοσ οὔποτ' ὀλεῖται
869 εἴ μοι ἔπειτα πέσει μέγασ οὐρανὸσ εὐρὺσ ὕπερθεν
871 εἴ μὴ ἐγὼ τοῖσι μεν ἐπαρκέσω οἵ με φιλεῦσι
873 ⟨ο⟩ἶνε τὰ μέν σ' αἰνῶ τὰ δὲ μέμφομαι οὐδέ σε πάμπαν,
875 ἐσθλὸν καὶ κακὸν ἐσσὶ. τίσ ἂν σέ τε μωμήσαιτο
877 ἡβάοί φίλε θυμὲ ταχ' ἄν τινεσ ἄλλοι ἔσονται
879 πίν' οἶνον τὸν ἐμῆσ κορυφῆσ ἀπὸ τηλυγέτοιο
881 οὔρεοσ ἐν βήσησι θεοῖσι φίλοσ θεότιμοσ
883 τοῦ πίνων ἀπὸ μὲν χαλεπὰσ σκεδάσεισ μελεδῶνασ
885 εἰρήνη καὶ πλοῦτοσ ἔχει πόλιν ὄφρα μετ' ἄλλων,
887 μηδὲ λίην κύρυκοσ ἀν' οὖσ ἔχε μακρὰν βοῶντοσ

folii 31ʳ columna II.

818 ὑπαλύξαι ὅττι δὲ μοῖρα παθεῖν. οὔτι δέδ[οι]κ[α παθεῖν]
820 κύρνε συν, ἀμφοτέρουσ μοῖρα λάβ[οι θανάτου]
822 τούτων τοι χώρη κύρ' ὀλίγη τ(ελ)[έθει]
824 μήτε κτεῖναι θεῶν ὅρκια συ[νθέμενοσ]
826 θυμὸσ γῆσ δ' οὖροσ φαίνεται ἐξ ἀ(γορ)[ῆσ]
828 ξανθῆσι τε κόμαισ πορφυρέουσ στεφᾶν[ουσ]
830 πένθει δ' εὐώδη χῶρον ἀπολλύμ[ενον]
832 γνώμη δ' ἀργαλέη γίνεται ἀμφοτέρων
834 αἴτιοσ ἀθανάτων κύρνε θεῶν μακάρων
836 πολλῶν ἐξ ἀγαθῶν ἐσ κακότητ' ἔβαλε
838 δίψα τε λυσιμελὴσ καὶ μέθυσισ χαλεπή
840 οὔτέ τι μὴ πίνειν οὔτε λίην μεθύειν
842 εὖτ' ἂν θωρήξασ μ' ἄνδρα πρὸσ ἐχθρὸν ἄγη
844 τουτάκισ οἴκαδ' ἴμεν παυσάμενοι πόσιοσ
846 εὖ δὲ θέμεν τὸ κακῶσ κείμενον ἀργαλέον
848 ὀξέϊ καὶ ζεύγλην δύσλοφον ἀμφιτίθει
850 ἀνθρώπων ὁπόσουσ ἠέλιοσ καθορᾶ
852 μαλθακὰ κωτίλλων ἐξαπατᾶν ἐθέλει
854 οὕνεκα τοῖσ δειλοῖσ οὐδὲ μί' ἐστὶ χάρισ
856 ὥσπερ κεκλιμένη ναῦσ παρὰ γῆν ἔδραμε
858 αὐχέν' ἀποστρέψασ οὐδ' ἐσορᾶν ἐθέλει
860 πολλοὺσ ἀσπασμοὺσ καὶ φιλότητασ ἔχω.
862 ἀνδρῶν φαινομένων ἀλλ' ἐγὼ αὐτομάτη
864 ἦμοσ ἀλεκτρυόνων φέγγοσ ἐγειρομένων
866 ἐσθλὸν. ὃσ οὔθ' αὐτῶ βέλτεροσ οὐδὲν ἐὼν,
868 αἰχμητῆσ γαρ ἀνὴρ γῆν τε καὶ ἄστυ σαοῖ
870 χάλκεοσ· ἀνθρώπων δεῖμα πάλαι γενέων
872 τοῖσ δ' ἐχθροῖσ ἀνίη καὶ μέγα πῆμ' ἔσομαι
874 οὔτέ ποτ' αἰχθαίρειν οὔτε φιλεῖν δύναμαι.
876 τίσ δ' ἂν ἐπαινήσει μέτρον ἔχων σοφίησ
878 ἄνδρεσ. ἐγὼ δε θανὼν γαῖα μέλαιν' ἔσομαι
880 ἄμπελοι ἤνεγκαν τὰσ ἐφύτευσ' ὁ γέρων
882 ἐκ πλατανιστοῦντοσ ψυχρὸν ὕδωρ ἐπάγων
884 θωρηχθεὶσ δ' ἔσεαι πολλὸν ἐλαφρότεροσ
886 κωμάζοιμι κακοῦ δ' οὐκ ἔραμαι πολέμου
888 οὐ γὰρ πατρώασ γῆσ πέρι μαρνάμεθα

---

ante versus 817. 845. 857. 873 scriptum est γνώμη (per scripturae compendium) | 820 συν, non σὺν scriptum videtur esse | 821 ὀὺκ, vix οἶκ scriptum est | 823 ἐλπισι sine accentu | 827 constat hunc versum non a καί τε incepisse | 840 (initio) οὔτέ (sic) | 840 οὔτε λίην (sic) | 853 ἠδέα (sic) | 853 πολυ sine accentu | 866 αὐτῶ ex αὐτῶ factum | 869 initio εἴ quam ἔν scriptum esse paululo probabilius est | 871 μεν sine accentu | 873 μέν ex μὲν correctum | 874 ποτ' αἰχθαίρειν sine correctura | 877 ἡβάοί scriptum est, non ἥβα οἱ | 877 ταχ' sine accentu.

folii 31ᵛ columna I.

889 ⟨ἀ⟩λλ᾽ αἰσχρὸν παρεόντα καὶ ὠκυπόδων ἐπιβάντα
891 ⟨ο⟩ἴ μοι ἀγαλκίησ ἀπο μὲν κήρυνθοσ ὄλωλε
893 οἱ δ᾽ ἀγαθοὶ φεύγουσι πόλιν δὲ κακοὶ διέπουσιν
895 γνώμησ δ᾽ οὐδὲν ἄμεινον ἀνὴρ ἔχει ἔν γε ἑαυτῷ
897 κύρνε μὴ πάντ᾽ ἄνδρεσι κατὰ θνητοῖσ χαλεπαίνειν
899 αὐτὸσ ἐνὶ στήθεσσι καὶ ἔργματα· τῷ δε δικαίῳ,
901 ἔστιν ὁ μὲν χεῖρον, ὅ δ᾽ ἄμεινον γ᾽ ἔργον ἑκάστου
903 ὅστισ ἀναλωσιν τηρεῖ κατὰ χρήματα θηρῶν,
905 ⟨ε⟩ἰ μὲν γὰρ κατιδεῖν βιότου τέλοσ ἦν ὁπόσοσ τίσ
907 εἰκὸσ ἂν ἦν ὅσ μὲν πλεῖον χρόνον αἶσαν ἔμιμνε,
909 νῦν δ᾽ οὐκ ἔστιν ὅ δὴ καὶ ἐμοὶ μέγα πένθοσ ὄρωρε
911 ἐν τριόδῳ δ᾽ ἕστηκα δύ᾽ εἰσὶ πρόσθεν ὁδοί μοι
913 ἢ μηδὲν δαπανῶν τρύχω βίον ἐν κακότητι,
915 εἶδον μὲν γὰρ ἐγὼ γ᾽ ὅσ ἐφείδετο κοὔποτε γαστρὶ
917 ἀλλὰ πρὶν ἐκτελέσαι κατέβη δόμον ἄϊδοσ εἴσω
919 ὥστ᾽ ἐσ ἄκαιρα πονεῖν καὶ μὴ δόμεν ὥσκε θέλει τίσ
921 χρήματα μὲν διέτριψεν ἔφη δ᾽ ὑπάγω φρένα τέρψασ
923 οὕτω δημόκλεισ κατὰ χρήματ᾽ ἄριστον ἁπάντων
925 οὔτε γὰρ ἂν προκαμὼν ἄλλῳ κάματον μεταδοίησ,
927 ⟨ο⟩ὐδ᾽ εἰ γῆρασ ἵκοιο τὰ χρήματα παντ᾽ ἀποδραίη
929 εἰ μὲν γὰρ πλουτεῖσ, πολλοὶ φίλοι· ἦν δὲ πένηαι,
931 φείδεσθαι μὲν ἄμεινον ἐπεὶ οὐδε θανοντ᾽ ἀποκλαίει
933 ⟨π⟩αύροισ ἀνθρώπων ἀρετὴ καὶ κάλλοσ ὀπηδεῖ·
935 πάντεσ τιμῶσιν ὁμῶσ ἴσοι οἵ τε κατ᾽ αὐτὸν
937 γηράσκων ἀστοῖσι μετατρέπει οὐδέ τησ αὐτὸν
939 ⟨ο⟩ὐ δύναμαι φωνῇ λιγύρ᾽ ἀδέμεν ὥσπερ ἀηδὼν
941 οὐδὲ τὸν αὐλητὴν προφασίζομαι ἀλλά μ᾽ ἑταῖροσ
943 ἐγγύθεν αὐλητῆροσ ἀείσομαι ὧδε καταστάσ,
945 εἱμὶ παρὰ στάθμην ὀρθὴν ὁδὸν οὐδ᾽ ἑτέρωσε
947 πατρίδα κοσμήσω λιπαρὴν πόλιν οὔτ᾽ ἐπὶ δήμ⟨ῳ⟩
949 νεβρὸν ὑπὲξ ἐλάφοιο λέων ὢσ ἀλκὶ^{η} πεποιθ⟨ώ⟩σ
951 τειχέων δ᾽ ὑψηλῶν ἐπιβὰσ πόλιν ουκελάπαξα
953 πρήξασ δ᾽ οὐκ έπρηξα, κοὐκ ἐτέλεσα τελέσσασ
955 δειλοὺσ δ᾽ εὖ ἔρδοντι δύο κακὰ τῶν τε γὰρ αὐτοῦ
957 ⟨ε⟩ἴ τι παθὼν ἀπ᾽ ἐμεῦ ἀγαθὸν μέγα μὴ χαριν οἶδασ,
959 ἔστε μὲν αὐτὸσ ἔπινον ἀπὸ κρήνησ μελανύδρου,

folii 31ᵛ columna II.

890 ἵππων, μὴ πόλεμον δακρυόεντ᾽ ἐσιδεῖν
892 ληλάντου δ᾽ ἀγαθὸν κείρεται οἰνόπεδον
894 ὡσ κυψελλίζον ζεὺσ ὀλέσειε γένοσ
896 οὐδ᾽ ἀγνωμοσύνησ κύρν᾽ ἀνιηρότερον
898 γινώσκων ὡσ νοῦν οἷον ἕκαστοσ ἔχει
900 τῷ δ᾽ ἀδίκῳ, μέγα κεν πῆμα βροτοῖσ ἐπῆν
902 οὐδεὶσ δ᾽ ἀνθρώπων αὐτὸσ ἅπαντα σοφὸσ
904 κυδίστην ἀρετὴν τοῖσ συνιεῖσιν ἔχει.
906 ἤμελλ᾽ ἐκτελέσασ εἰσ ἀΐδαο περῶν,
908 φείδεσθαι μᾶλλον τοῦτον ὃν εἶχε βίον
910 καὶ δάκνομαι ψυχὴν καὶ δίχα θυμὸν ἔχω
912 φροντίζω τούτων ἥντιν᾽ ἴω προτέρην
914 ἢ ζωω τερπνῶσ ἔργα τελῶν ὀλίγα
916 σῖτον ἐλευθέριον πλούσιοσ ὢν ἐδίδου·
918 χρήματα δ᾽ ἀνθρώπων οὑπιτυχὼν ἔλαβεν
920 εἶδον δ᾽ ἄλλον ὅσ ἦν γαστρὶ χαριζόμενοσ
922 πτωχεύει δὲ φίλουσ πάντασ ὅπού τιν᾽ ἴδῃ·
924 τὴν δαπάνην θέσθαι καὶ μελέτην ἐχέμεν
926 οὔτ᾽ ἂν πτωχεύων δουλοσύνην τελέοισ
928 ἐν δὲ τοιῷδε γένει χρήματ᾽ ἄριστον ἔχειν
930 παῦροι· οὐκέθ᾽ ὁμῶσ αὐτὸσ ἀνὴρ ἀγαθόσ
932 ⟨ο⟩ὐδεὶσ. ἢν μὴ ὁρᾷ χρήματα λειπομενα
934 ⟨ὄ⟩λβιοσ δ᾽ ὅσ τούτων ἀμφοτέρων ἔλαχε
936 χώροισ εἴκουσιν οἵ τε παλαιότεροι·
938 βλάπτειν οὔτ᾽ αἰδοῦσ οὔτε δίκησ ἐθέλει
940 καὶ γὰρ τὴν προτέρην νύκτα ἐπι κῶμον ἔβην
942 ἐκλείπει σοφίησ οὐκ᾽ ἐπιδευόμενοσ
944 δεξιὸσ ἀθανάτοισ θεοῖσ ἐπευχόμενοσ
946 κλινόμενοσ χρὴ γάρ μ᾽ ἄρτια πάντα νοεῖν
948 τρέψασ οὔτ᾽ ἀδίκοισ ἀνδράσι πειθόμενοσ
950 ποσὶ καταμάρψασ αἵματοσ οὐκ ἔπιον
952 ζευξάμενοσ δ᾽ ἵππουσ ἅρματοσ οὐκ ἐπέβην
954 δορήσασ δ᾽ οὐκ ἔδρησ᾽ ἤνυσα δ᾽ οὐκ ἀνύσασ
956 χηρώσει πολλῶν. καὶ χάρισ οὐδεμία
958 χρήζων ἡμετέρουσ αὖθισ ἵκοιο δόμουσ
960 ἡδύ τί μοι ἐδόκει καὶ καλὸν εἶμεν ὕδωρ

---

891 ἀπο sine accentu | 903 ἀναλωσιν sine accentu | 911 εἰσὶ scriptum est, non εἰσι | 911 ὁδοί μοι scriptum est, non ὁδοι πρίν | 913 μηδὲν ex μήδὲν correctum | 914 ζωω sine accentu | 915 vocabuli κοὔποτε littera prima ex γ correcta videtur esse | 927 παντ᾽ sine accentu | 931 οὐδε θανοντ᾽ sine accentibus | 932 λειπομενα sine accentu | 940 ἐπι sine accentu | 945 εἱμὶ (sic) | 949 ἀλκῇ ex ἀλκι correctum | 953 έπρηξα sine spiritu | 957 χαριν sine accentu.

folii 32[r] columna I.

961 νῦν δ᾽ ἤδη τεθόλωται ὕδωρ δ᾽ αναμισγεται ὕδει
963 μή ποτ᾽ ἐπαινήσησ πρὶν ἂν ἴδησ ἄνδρα σαφηνῶσ,
965 πολλοί τοι κίβδηλον ἐπίκλοποσ ἦθοσ ἔχοντεσ,
967 τούτων δ᾽ ἐκφαίνει πάντων χρόνοσ ἦθοσ ἑκάστου
969 ἔφθην δ᾽ αἰνήσασ πρίν σου κατὰ πάντα δαῆναι
971 τίσ δ᾽ ἀρετὴ πίνοντ᾽ ἐπιοίνιον ἆθλον ἑλέσθαι
973 ⟨ο⟩ὐδεὶσ ἀνθρώπων ὅν ποτ᾽ ἐπὶ γαῖα καλύψει,
975 τέρπεται οὔτε λύρησ οὔτ᾽ αὐλητῆροσ ἀκούων
977 ταῦτ᾽ ἐσορῶν κραδίη εὖ πείσομαι ὄφρα τ᾽ ἐλαφρὰ
979 ⟨μ⟩ή μοι ἀνὴρ εἴη γλώσση φίλοσ ἀλλὰ καὶ ἔργω
981 μηδὲ παρὰ κρατῆρσι λόγοισιν ἐμὴν φρένα τέρποι
983 ἡμεῖσ δ᾽ ἐν θαλίαισι φίλον καταθώμεθα θυμὸν
985 αἶψα γὰρ ὥστε νόημα παρέρχεται ἀγλαὸσ ἥβη
987 αἴτ᾽ αναφερουσι δορυσσόον ἐσ πόνον ἀνδρὸσ
989 ⟨π⟩ίν᾽ ὁπόταν πίνωσιν ὅταν τοι θυμὸν ἀσηθῆσ
991 ἄλλοτέ τοι πάσχων ἀνιήσεαι ἄλλοτέ θ᾽ ἔρδων
993 εἰ θείησ ἀκάδη̅μ̅ε εφημεριον ὕμνον ἀείδειν,
995 σοί τ᾽ εἴη καὶ ἐμοὶ σόφιήσ πέρι δηρησάντων
997 τῆμοσ δ᾽ ἠέλιοσ μὲν ἐν αἰθέρι μώνυχασ ἵππουσ
999 δείπνου δὲ λήγοιμεν ὅπου τινὰ θυμὸσ ἀνώγει
1001 χέρνιβα δ᾽ αἶψα θύραζε φέρει στεφανώματα δήσοι
1003 ⟨ἥ⟩δ᾽ ἀρετὴ τόδ᾽ ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον
1005 ⟨ξ⟩υνὸν δ᾽ ἐσθλὸν τοῦτο πολῆΐ τε παντί τε τῶ δήμω,
1007 ξυνόν δ᾽ ἀνθρώποισ ὑποθήσομαι. ὄφρά τισ ἥβησ
1009 ⟨τ⟩ῶν αὐτοῦ κτεάνων εὖ πασχέμεν· οὐ γὰρ ἂν ἡβᾶν
1011 θνητοῖσ ἀνθρώποισι κακόν δ᾽ ἐπὶ γῆρασ ἐλέγχει,
1013 ὡσ μάκαρ εὐδαίμων τε καὶ ὄλβιοσ ὅστισ ἄπειροσ
1015 πρίν τ᾽ ἐχθροὺσ πτῆξαι καὶ ὑπερβῆναι περ ἀνάγκη
1017 ⟨α⟩ὐτίκα μοι κατὰ μὲν χροιὴν ῥέει ἄσπετοσ ἱδρὼσ
1019 τερπνὸν ὅμῶσ καὶ καλὸν ἐπεὶ πλέον ὤφειλεν εἶναι
1021 ἥβη τιμήεσσα τὸ δ᾽ οὐλόμενον καὶ ἄμορφον
1023 οὔποτε τοῖσ ἐχθροῖσιν ὑπὸ ζυγὸν αὐχένα θήσω
1025 δ⟨ε⟩ιλοῖσ τοι κακότητι ματαιότεροι νόοι εἰσὶ
1027 ῥηϊδίη τοι πρῆξισ ἐν ἀνθρώποισ κακότητοσ
1029 τόλμα θυμὲ κακοῖσιν ὁμῶσ ἄτλητα πεπονθὼσ
1031 μηδὲ σύ τ᾽ ἀπρήκτοισιν ἐπ᾽ ἔργμασιν ἄλγοσ ἀέξων,
1033 μηδ᾽ ἐχθροὺσ ἔχθρηνε θεῶν δ᾽ εἱμαρμένα δῶρα,

folii 32[r] columna II.

962 ἄλλησ δὴ κρήνησ πίομαι ἢ ποταμο(ῦ)
964 ὀργὴν καὶ ῥυθμὸν καὶ τρόπον ὅστισ ἂν ἦ
966 κρύπτουσ᾽ ἐνθέμενοι θυμὸν ἐφημέρι(ον)
968 καὶ γὰρ ἐγὼν γνώμησ πολλὸν ἄρ᾽ ἐκτὸσ ἔ(β)η(ν)
970 ἤθεα· νῦν δ᾽ ἤδη ναῦσ ἅθ᾽ ἑκὰσ διέχω
972 πολλάκι τοι νικᾶ καὶ κακόσ ἄνδρ᾽ ἀγαθόν
974 εἶσ τ᾽ ἔρεβοσ καταβῆ δώματα περσεφόν(ησ)
976 οὔτε διωνύσου δῶρ᾽ ἐσαειράμενοσ
978 γούνατα καὶ κεφαλὴν ἀτρεμέωσ προσφέρω
980 χερσί τε σπεύδει χρήμασί τ᾽ ἀμφότερα
982 ἀλλ᾽ ἔρδων φαίνοιτ᾽ εἴ τι δύνατ᾽ ἀγαθὸν
984 ὄφρ᾽ ἔτι τερπωλῆσ ἔργ᾽ ἐρατεινὰ φέρη
986 οὐδ᾽ ἵππων ὁρμὴ γίνεται ὠκυτέρη
988 λάβρωσ πυροφόρω τερπόμεναι πεδίω
990 ⟨μ⟩ηδεὶσ ἀνθρώπων γνῶ σε βαρυνόμενον
992 χαιρήσειν δύναιαι ἄλλοτε τ᾽ ἄλλοσ ἀνήρ,
994 ἆθλον δ᾽ ἐν μέσω παῖσ κακὸν ἄνθοσ ἔχων,
996 γνοίησ θ᾽ ὅσσον ὄνου κρέσσονεσ ἡμίονοι
998 ἄρτι παραγγέλοι μέσσατον ἦμαρ ἔχων
1000 παντοίων ἀγαθῶν γαστρὶ χαριζόμενοι,
1002 εὐειδὴσ ῥαδιναῖσ χερσὶ λάκαινα κόρη
1004 κάλλιστόν τε φέρειν γίνεται ἀνδρι σοφῶ.
1006 ὅστισ ἀνὴρ διαβὰσ ἐν προμάχαισιν ἔνι.
1008 ἀγλαὸν ἄνθοσ ἔχων καὶ φρεσὶν ἐσθλὰ νοῆ
1010 δὶσ πέλεται πρὸσ θεῶν οὐδὲ λύσισ θανάτου,
1012 οὐλόμενον κεφαλῆσ ἅπτεται ἀκροτάτησ·
1014 ἄθλων εἰσ ἄδου δῶμα μέλαν καταβῆ
1016 ἐξετάσαι τὲ φίλουσ ὅντιν᾽ ἔχουσι νόον
1018 πτοιοῦμαι δ᾽ εἰσορόων ἄνθοσ ὁμιλίησ
1020 ⟨ἀ⟩λλ᾽ ὀλιγοχρόνιοσ γίνεται ὥσπερ ὄναρ,
1022 ⟨α⟩ὐτίχ᾽ ὑπερ κεφαλῆσ γῆρασ ὑπερκρέμαται
1024 δύσλοφον. οὐδ᾽ εἴ μοι τμῶλοσ ἔπεστι κάρη
1026 τῶν δ᾽ ἀγαθῶν αἰεὶ πρήξιεσ ἰθύτεραι
1028 τοῦ δ᾽ ἀγαθοῦ χαλεπὴ πέλει κύρ̅ν̅ε παλάμη
1030 ⟨δε⟩ιλῶν τοι κραδίη γίνεται ὀξυτέρη
1032 ἔχθει, μηδ᾽ ἄχθει μηδὲ φίλουσ ἀνία
1034 οὐκ ἂν ῥηϊδίωσ θνητὸσ ἀνὴρ προσφύγοι

---

961 ἀναμισγεται sine accentu | 963 ἐπαινήσησ ex ἐπαινήσεισ correctum | 974 εἶσ (sic) | 984 φέρη correctum ex φέρει | 987 αναφερουσι (sic) | 993 ἐφημεριον sine accentu | 995 σόφιήσ (sic) | 1004 ἀνδρι sine accentu | 1005 πολῆΐ τε an πολῄΐ τε incertum | 1019 ὅμῶσ (sic) | 1022 αὐτίχ᾽ an ἀντίχ᾽ incertum | 1022 ὑπερ sine accentu.

folii 32ᵛ columna I.

1035 οὔτ᾿ ἂν πορφυρέησ καταδὺσ ἐσ πυθμένα,
1037 ἄνδρα τοι ἔστ᾿ ἀγαθὸν χαλεπώτατον ἐξαπατῆσαι,
853 ἠδέα μὲν καὶ πρόσθεν ἀτὰρ πολὺ λώϊον ἤδη
1039 ⟨ἄ⟩φρονεσ ἄνθρωποι καὶ νήπιοι οἵτινεσ οἶνον,
1041 ⟨δ⟩εῦρο σὺν αὐλητῆρι παρὰ κλαίοντι γελῶντεσ,
1043 εὕδωμεν· φυλακὴ δὲ πόλευσ, φυλάκεσσι μελήσει,
1045 ναὶ μὰ δί᾿, εἴ τισ τόνδε καὶ ἐγκεκαλυμμένοσ εὕδει,
1047 νῦν μὲν πίνοντεσ τερπομεθα καλὰ λέγοντεσ
1049 ⟨σ⟩ὺ δὲ οἷά τε παιδὶ· ὑποθήσομαι αὐτόσ,
1051 μή ποτ᾿ ἐπειγόμενοσ πράξησ κακὸν ἀλλὰ βαθείη
1053 τῶν γαρ μαρναμένων μάχεται θυμόσ τε νόοσ τε
1055 ⟨ἀ⟩λλὰ λόγον μὲν τοῦτον ἐάσομαι. αὐταρ ἐμοὶ σὺ
1057 αὐται γὰρ τάδ᾿ ἔδωκαν ἔχειν κεχαρισμένα δῶρα
1059 ⟨τ⟩ιμᾶ γαρ ἀπόλλων ὀργὴν ἀπάτερθεν ὁρῶντι,
1061 οἱ μὲν γὰρ κακότητα κατακρυψαντεσ ἔχουσι,
1063 ἐν δ᾿ ἥβη παρὰ μὲν ξυνομήλικι κάλλιστον εὕδειν
1065 ἔστι δε κωμάζοντα μετ᾿ αὐλητῆροσ ἀείδειν,
1067 ἀνδράσιν ἠδε γυναιξὶ τί μοι πλοῦτοσ τε καὶ αἰδώσ
1069 ⟨ἄ⟩φρονεσ ἄνθρωποι καὶ νήπιοι οἵτε θανόντασ
877 τέρπεό μοι φίλε θυμὲ. τάχ᾿ ἄν τινεσ ἄλλοι ἔσονται,
1071 κύρνε φίλουσ πρὸσ πάντασ ἐπίστρεφε ποικίλον ἦθοσ
1073 νῦν μεν τῷδ᾿ ἐφέπου τότε δ᾿ ἀλλοῖοσ πέλευ ὀργὴν
1075 πρήγματοσ ἀπρήκτου, χαλεπώτατον ἐστὶ τελευτὴν
1077 ⟨ὄ⟩ρφνὴ γὰρ τέταται· πρὸ δὲ τοῦ μελλοντοσ ἔσεσθαι
1079 ⟨ο⟩ὐδένα τῶν ἐχθρῶν μωμήσομαι ἐσθλὸν ἐόντα
1081 ⟨κ⟩ύρνέ κύει πόλισ ἥδε· δέδοικα δὲ μὴ τέκοι ἄνδρα
41 ἀστοὶ μὲν γὰρ ἔασι σαόφρονεσ ἡγεμόνεσ δὲ
87 μή μ᾿ ἔπεσι μὲν στέργε νόον δ᾿ ἔχε καὶ φρένασ ἄλλη
89 ἤ με φίλει καθαρὸν θέμενοσ νόον, ἤ μ᾿ ἀποειπὼν
1083 ⟨ο⟩ὕτω χρὴ τόν γ᾿ ἐσθλὸν ἐπιστρέψαντα νόημα,
1085 δῆμον δ᾿ ἀξιοῖ πολλὰ φέρειν βαρὺσ· οὐ γὰρ ἐπίστη
1087 ⟨κ⟩άστορ καὶ πολύδευκεσ οἳ ἐν λακεδαίμονι δίη
1089 εἴ ποτε βουλευσαιμι φίλω κακὸν, αὐτὸσ ἔχοιμι
1091 ἀργαλέωσ μοι θυμὸσ ἔχει περι σῆσ φιλότητοσ
1093 γινώσκων χαλεπὸν μὲν ὅταν φίλοσ ἀνδρὶ γένηται,

folii 32ᵛ columna II.

1036 λίμνησ. οὐθ᾿ ὅταν αὐτὸν ἔχη τάρταροσ ἠερόεισ
1038 ⟨ὠ⟩σ ἐν ἐμῆ γνώμη κύρνε πάλαι κέκριται
854 ⟨ο⟩ὕνεκα τοῖσ δειλοῖσ οὐδὲμί᾿ ἐστι χάρισ
1040 μὴ πίνουσ᾿ ἄστρου καὶ κυνὸσ ἐρχομένου
1042 πίνομεν, κείνου κήδεσσι τερπόμενοι
1044 ⟨ἀ⟩στυφελῆσ ἐραστῆσ πατρίδοσ ἡμετέρησ
1046 ἡμέτερον κῶμον δέξεται ἁρπαλέωσ
1048 ⟨ἅ⟩σσα δ᾿ ἔπειτ᾿ ἔσται, ταῦτα θεοῖσι μελει
1050 ἐσθλά; σὺ δ᾿ ἐν θυμῷ καὶ φρεσὶ ταῦτα βάλε
1052 σῆ φρενὶ βουλεῦσαι· σῷ ἀγαθῷ τέκνῳ
1054 ⟨β⟩ουλή σ᾿ εἰσ ἀγαθὸν καὶ νόον ἐσθλὸν ἄγει
1056 αὔλει· καὶ μουσῶν μνησόμεθ᾿ ἀμφότεροι
1058 σοὶ καὶ ἐμοὶ νῦν ἀμφιπερικατίοσι
1060 γινώσκειν χαλεπὸν καίπερ ἐόντι σοφῷ
1062 πλούτω. τοὶ δ᾿ ἀρετὴν οὐλομένη πενίη.
1064 ἱμερτῶν ἔργων ἐξέρου ἱέμενον
1066 τούτων οὐδέν τι ἄλλ᾿ ἐπιτερπνότερον
1068 τερπωλὴ νικᾶ πάντασ σὺν εὐφροσύνη
1070 κλαίουσ᾿ οὐδ᾿ ἥβησ ἄνθοσ ἀπολλόμενον
878 ἄνδρεσ. ἐγὼ δὲ θανὼν γαῖα μελαιν᾿ ἔσομαι
1072 συμμίσγων ὀργὴν οἷοσ ἕκαστοσ ἔφυ
1074 ⟨κ⟩ρείσσων τοι σοφίη καὶ μεγάλησ ἀρετῆσ.
1076 γνῶναι· ὅπωσ μελλει τοῦτο θεὸσ τελέσαι
1078 οὐ ξυνετὰ θνητοῖσ πείρατ᾿ ἀμηχανίησ
1080 οὐδὲ μεν αἰνήσω δειλὸν ἐόντα φίλον
1082 ὑβριστὴν χαλεπῆσ ἡγεμόνα στάσιοσ
42 τετράφαται πολλὴν ἐσ κακότητα πεσεῖν.
88 ⟨ε⟩ἴ με φιλεῖσ καί σοι πιστὸσ ἔνεστι νόοσ.
90 ἔχθαιρ᾿ ἀμφαδίην νεῖκοσ ἀειράμενοσ
1084 ἔμπεδον αἰὲν ἔχειν ἐσ τέλοσ ἀνδρὶ φίλω
1086 τοῦθ᾿ ἔρδειν ὅ τι σοὶ μὴ καταθύμιον ᾖ
1088 ⟨ν⟩αίετ᾿ ἐπευρώτα καλλιρόω ποταμῶ
1090 εἰ δέ τι κεῖνοσ ἐμοὶ δὶσ τόσον αὐτὸσ ἔχει
1092 οὔτε γὰρ ἐχθαίρειν οὔτε φιλεῖν δύναμαι
1094 ἐχθαίρειν. χαλεπόν δ᾿ οὐκ ἐθελοντα φιλεῖν.

---

853 ἠδέα scriptum est, non ἤδεῖα | 854 supra quartam vocabuli οὐδεμί᾿ litteram et gravis accentus extat et acutus | 1046 vocabuli ἁρπαλέωσ littera tertia ex α inter scribendum correcta videtur | 1048 μελει sine accentu | 1051 βαθείη an βαθεῖη incertum | 1055 αὐταρ sine accentu | 1061 κατακρυψαντεσ sine accentu | 1064 ἱμερτῶν ex ἱμερτὸν inter scribendum correctum est | 1064 ἱέμενον lectio certa est | 1066 τούταν quam τούτων scriptum esse paululo probabilius est | 1067 ηδε sine accentu | 1069 θανόντασ (sic perscriptum) ex θανόντας, quod per scripturae compendium exaratum erat, correctum videtur | 878 μελαιν᾿ sine accentu | 1073 τότε scriptum est, non τοτὲ | ante versum 1074 scriptum est γνώμη (per compendium) | 1075 post τελευτὴν duae vel tres litterae erasae sunt | 1076 μελλει sine accentu | 1077 μελλοντοσ sine accentu | 41 ἀστοὶ scriptum est, non ἀστὶ | 87 ἄλλη scriptum est, non ἄλλασ | 1089 βουλευσαιμι sine accentu | 1091 περι sine accentu | 1094 ἐθελοντα sine accentu.

folii 33ʳ columna I.

⟨σ⟩κέπτε δὴ νῦν ἄλλον· ἐμοί γε μὲν οὔτισ ἀνάγκη,
ἤδη καὶ πτερύγεσσιν ἐπαίρομαι ὥστε πετεινὸν,
βρόχον ἀπορρήξασ. σύ δ' ἐμῆσ φιλότητοσ ἁμαρτὼν,
ὅστισσοι βούλευσεν ἐμεῦ πέρι καί σ' ἐκέλευσεν,
⟨ὕ⟩βρισ καὶ μάγνητασ ἀπώλεσε καὶ κολοφῶνα
⟨δ⟩όξα μὲν ἀνθρώποισι κακὸν μέγα· πεῖρα δ' ἄριστον·
εἰσ βάσανον δ' ἐλθὼν παρατριβόμενόσ τε μολίβδω,
⟨ὤ⟩μοι ἐγὼ δειλὸσ καὶ δὴ κατάχαρμα μὲν ἐχθροῖσ
⟨κ⟩ύρν', οἱ πρόσθ' ἀγαθοὶ νῦν αὖ κακοὶ οἱ δὲ κακοὶ πρίν,
τοὺσ ἀγαθοὺσ μὲν ἀτιμοτέρουσ κακίουσ δε λαχόντασ,
ἀλλήλουσ δ' ἀπατῶντεσ, ἐπ' ἀλλήλοισι γελῶσιν
πολλά δ' ἀμηχανίῃσι κυλίνδομαι ἀχνύμενοσ κῆρ
⟨χ⟩ρήματ' ἔχων πενίην μ' ὠνείδισασ ἀλλὰ τὰ μέντοι
πλοῦτε, θεῶν κάλλιστε καὶ ἱμεροέστατε πάντων
ἥβησ μέτρον ἔχοιμι φιλοῖ δέ με φίλοσ ἀπόλλων
⟨ὄ⟩φρα βίον ζώοιμι κακῶν ἔκτοσθεν ἁπάντων,
μή με κακῶν μέμνησθε πέπονθά τοι οἷα τ' ὀδυσσεὺσ
⟨ὅ⟩σ δὴ καὶ μνηστῆρασ ἀνείλετο νηλέϊ χαλκῶ
ἡ μὲν δηθ' ὑπέμεινε φίλω προσ παιδὶ μένουσα
⟨ἐ⟩λπίομαι πενίησ θυμοφθόρου οὐ μελεδαίνω
ἀλλ' ἥβην ἐρατὴν ὀλοφύρομαι ἥ μ' ἐπιλείπει
κύρνε παροῦσι φίλοισι κακοῦ καταπαύσομεν ἀρχὴν
⟨ἐ⟩λπὶσ ἐν ἀνθρώποισι μόνη θεὸσ ἐσθλὴ ἔνεστιν
⟨ὤ⟩χετο μὲν πίστισ μεγάλη θεὸσ ὤχετο δ' ἀνδρῶν
⟨ὅ⟩ρκοι δ' οὐκέτι πιστοὶ ἐν ἀνθρώποισι δίκαιοι
εὐσεβέων δ' ἀνδρῶν γένοσ ἔφθιτο. οὐδὲ θέμιστασ,
⟨ἀ⟩λλ' ὄφρά τισ ζώοι· καὶ ὁρᾶ φάοσ ἠέλιοιο,
εὐχέσθω δὲ θεοῖσι καὶ ἀγλαὰ μυρία καίων,
⟨φ⟩ραζέσθω δ' ἀδίκων ἀνδρῶν σκολιὸν λόγον
αἰὲν ἐπ' ἀλλοτρίοισ κτεάνοισ ἐπέχουσι νόημα,
⟨μ⟩ή ποτε τὸν παρεόντα μεθεὶσ φίλον ἄλλον ἐρεύνα
εἴη μοι πλουτοῦντι κακῶν ἀπάτερθε μεριμνων
⟨ο⟩ὐκ ἔραμαι πλουτεῖν οὐδ' εὔχομαι· ἀλλά μοι εἴη
ὡσ δ' αὔτωσ σοφίην ὁ σοφώτατοσ οὐκ ἀποφεύγει
⟨ὦ⟩ νέοι οἱ νῦν ἄνδρεσ ἔμοιγε μὲν οὔτισ ἀνάγκη,

folii 33ʳ columna II.

1096 τοῦθ' ἔρδειν· τῶν μοι πρόσθεν χάριν τίθε[σο]
1098 ἐκ λίμνησ μεγάλησ, ἄνδρα κακὸν προσφυγὸν
1100 ὕστερον ἡμετέρην γνώσῃ ἐπιφροσύν(ην)
1102 οἴχεσθαι προλιπόνθ' ἡμετέρην φιλίην
1104 καὶ σμύρνην. πάντωσ κύρνε καὶ ὕμμασ ὀλ(εῖ)
572 ⟨π⟩ολλοὶ ἀπειρητοι δόξαν ἔχουσ' ἀγαθῶ[ν]
1106 χρυσὸσ ἄπευθοσ ἐὼν καλὸσ ἅπασιν ἔσ(η.)
1108 τοῖσ δὲ φίλοισι πόνοσ δειλὰ παθὼν γενόμ[ην]
1110 ⟨ν⟩ῦν ἀγαθοὶ τίσ κε ταῦτ' ἀνέχοιτ' ἐσορῶν.
1112 τιμῆσ μνηστεύει δ' ἐκ κακοῦ ἐσθλὸσ ἀνὴρ
1114 οὔτ' ἀγαθῶν μνήμην εἰδότεσ οὔτε κακῶν
620 ἀρχὴν γαρ πενίησ οὐχ' ὑπερεδράμομεν.
1116 ἐστί· τά δ' ἐργάσομαι θεοῖσιν ἐπευξάμενοσ
1118 ⟨σ⟩ὺν σοὶ καὶ κακὸσ ὤν, γίνεται ἐσθλὸσ ἀνὴρ
1120 λητοΐδησ καὶ ζεὺσ ἀθανάτων βασιλεὺσ
1122 ⟨ἥ⟩βη καὶ πλούτω θυμὸν ἰαινόμενοσ
1124 ὅστ' ἀΐδου μέγα δῶμ' ἤλυθεν ἐξαναδὺσ
1126 ⟨π⟩ηνελόπησ ἔμφρων κουριδίησ ἀλόχου
1128 ὄφρά τε γῆσ ἐπέβη δειμαλέουσ γε μυχοὺσ
1130 ⟨οὐ⟩δ' ἀνδρῶν ἐχθρῶν, οἵ με λέγουσι κακῶσ
1132 κλαίω δ' ἀργαλέον γῆρασ ἐπερχόμενον
1134 ζητῶμεν δ' ἕλκει φάρμακα φυομένω
1136 ⟨ἄ⟩λλοι δ' οὔλυμπον ἐκπρολιπόντεσ ἔβαν
1138 ⟨σ⟩ωφροσύνη· χάριτέσ τ' ὦ φίλε γῆν ἔλιπον
1140 ⟨ο⟩ὐδὲ θεοὺσ οὐδεὶσ ἅζεται ἀθανάτουσ
1142 οὐκέτι γινώσκουσ' οὐδέ μεν εὐσεβ^ει^ίασ
1144 ⟨ε⟩ὐσεβέων περὶ θεοὺσ ἐλπίδα προσμενέτω
1146 ἐλπίδι τε πρώτῃ καὶ πυμάτῃ τιθέτω
1148 ⟨α⟩ἰεὶ οἱ θεῶν ἀθανάτων μηδὲν ὀπιζόμενοι,
1150 αἰσχρὰ κακοῖσ ἔργοισ σύμβολα θηκάμενοι
1152 ⟨δ⟩ειλῶν ἀνθρώπων ῥήμασι πειθόμενοσ
1154 ζώειν ἀβλαβέωσ μηδὲν ἔχοντι κακὸν
1156 ⟨ζ⟩ῆν ἀπὸ τῶν ὀλίγων μηδὲν ἔχοντι κακὸν
1160 ἀλλ' ἔραται θυμόν δ' οὐ δύναται τελέσαι
1096 ⟨τ⟩αῦθ' ἔρδειν. τῶν μοι πρόσθεν χάριν τίθεσο·

1098 προσφυγὸν scriptum est, nisi egregie fallor; tres litteras ultimas non γὼν fuisse constat, spatii ratione habita is etiam de γὴν vel ιὸν vel ιὴν litteris cogitare | 1104 ὕμμασ scriptum est, non ὔμμασ | 1104 duas ultimas litteras εῖ fuisse simile est | 572 ἀπειρητοι sine accentu | 572 ἀγαθῶν quam ἀγαθῶ scriptum esse paulo probabilius est | 1116 ἐργάσομαι | ante versum 1117 scriptum est ⟨ὦ⟩ραῖον (per compendium) | 1117 ἱμεροέστατε ex ἡμεροέστατε correctum | 1125 ἀνείλετο νεῖλετο factum | 1127 προσ sine accentu | ante versum 1135 scriptum est γνώμη (per compendium) | 1142 εὐσεβείασ ex ίασ correctum | 1143 ἠέλιοιο (sic) | 1153 vocabuli κακῶν littera paenultima inter scribendum ex ο facta est | 1153 μεριμνων accentu | 1154 supra alteram vocabuli μηδὲν litteram accentus gravis deletus est.

folii 33ᵛ columna I.

1161 οὐδένα θησαυρὸν καταθήσειν παισὶν ἄμει(ν)ον
441 οὐδεὶσ γὰρ πάντ᾽ ἐστὶ πανόλβιοσ. ἀλλ᾽ ὁ μὲν ἐσθλὸσ,
443 δειλὸσ δ᾽ οὔτ᾽ ἀγαθοῖσιν ἐπίσταται οὔτε κακοῖσι
445 παντοῖαι θνητοῖσιν ἐπέρχεται. ἀλλ᾽ ἐπιτολμᾶν,
1163 ⟨ὀ⟩φθαλμοὶ καὶ γλῶσσαι καὶ οὔατα καὶ νόοσ ἀνδρῶν,
97 τοιοῦτοσ ἀνὴρ ἔστω φίλοσ, ὃσ τὸν ἑταῖρον,
99 ἀντὶ κασιγνήτου. ⟨σ⟩ὺ δέ μοι φίλε ταῦτ᾽ ἐνὶ θυμῶ,
415 οὔτιν᾽ ὁμοῖον ἐμοὶ δύναμαι διζήμενοσ εὑρεῖν,
417 ἐσ βάσανον δ᾽ ἐλθὼν παρατριβόμενόσ τε μολίβδω,
1165 τοῖσ ἀγαθοῖσ σύμμισγε κακοῖσι δε μή ποθ᾽ ὁμάρτει
1167 ⟨τ⟩ῶν ἀγαθῶν, ἐσθλὴ μὲν ἀπόκρισισ: ἐσθλά δ᾽ ἔργα:
1169 ἐκ καχεταιρείησ κακὰ γίνετα⟨ι⟩. εὖ δὲ καὶ αὐτὸσ,
1171 γνώμην κύρνε θεοὶ θνητοῖσι διδοῦσιν ἀρίστην
1173 ⟨ὦ⟩μάκαροσ· τίσ δ᾽ ἡμῖν ἔχει φρεσὶν ἐπεὶ πολὺ κρείσσων,
1175 ἔστι κακῶν[ὂν] δε βροτοῖσι κόροσ· τῶν οὔτι κάκιον
1177 ⟨ε⟩ἰκείησ ἔργων αἰσχρῶν ἀπαθὴσ καὶ ἀεργὸσ,
555 τολμᾶν χρὴ χαλεποῖσιν ἐπ᾽ ἄλγεσιν ἦπαρ ἔχοντα
1179 κύρνε, θεοὺσ αἰδοῦ καὶ δείδιθι· τοῦτο γαρ ἄνδρα
1181 δημοφάγον τύραννον, ὅπωσ ἐθέλησ κατακλίναι,
1183 οὐδένα κύρν᾽ αὐγαὶ φαεσιμβρότου ἠέλοιο
367 ⟨ἀ⟩στῶν δ᾽ οὐ δύναμαι γνῶναι νόον ὅντιν᾽ ἔχουσιν
1185 νοῦσ ἀγαθὸσ καὶ γλῶσσα ταῦτ᾽ ἐν παύροισι πέφυκεν
1187 οὔτισ ἄποινα διδοῦσ θάνατον φύγη οὐδὲ βαρεῖαν,
1189 οὐδ᾽ ἂν δυσφροσύνασ ὅτε δὴ θεὸσ ἄλγεα πέμπει,
1191 ⟨ο⟩ὐκ ἔραμαι κλισμῶ βασιληίω ἐγκατακεῖσθαι;
1193 ἀσπάλαθοι τάπησιν ὁμοῖον στρῶμα θανόντι
1195 μήτε θεοὺσ ἐπίὄρκον ἐπόμνυθι οὐ γὰρ ἀνεκτὸν,
1197 ὄρνιθοσ φωνὴν πολυπαίδη ὀξὺ βοώσησ,
1199 ⟨ὡ⟩ραίου καί μοι κραδίην ἐπάταξε μέλαιναν
1201 οὐδέ μοι ἡμίονοι κυφὸν ἕλκουσιν ἄροτρον
1203 ⟨ο⟩ὐκ εἰμ᾽ οὐδ᾽ ὑπ᾽ ἐμοῦ κικλήσεται οὐδ᾽ ἐπὶ τύμβω
1205 ⟨ο⟩ὐδ᾽ ἂν ἐκεῖνοσ ἐμοῦ τεθνειότοσ. οὔτ᾽ ἀνιῶτο,
1207 οὔτέ σε κωμάζειν ἀπερύκομαι. οὔτε καλοῦμαι
1209 αἴθων μὲν γένοσ εἰμὶ πόλιν δ᾽ εὐτυχέα θύβην,
1211 μή μ᾽ ἀφελῶσ παίζουσα φίλουσ διέναζε τοκῆασ
1213 ⟨ἡ⟩μῖν δ᾽ ἄλλα μὲν ἐστὶ γύναι κακὰ πόλλ᾽ ἐπεὶ ἐκ γῆσ,

folii 33ᵛ columna II.

1162 αἰτοῦσι δ᾽ ἀγαθοῖσ ἀνδράσι κύρνε δίδου.
442 τολμᾶ ἔχων τὸ κακὸν οὐκ ἐπίδηλον ὅμωσ·
444 θυμὸν ὁμῶσ μίσγειν. ἀθανάτων τε δόσεισ,
446 χρὴ δῶρ᾽ ἀθανάτων οἷα διδοῦσιν ἔχειν
1164 ἐν μέσω στηθῶν ἐν συνετοῖσ φύεται
98 γινώσκων ὀργὴν καὶ βαρὺν ὄντα, φέρει
100 ⟨φ⟩ράζεο, καί ποτέ μου μνήσεαι ἐξοπισω
416 πιστὸν ἑταῖρον ὅτῳ μή τισ ἔνεστι δόλοσ
418 χρυσὸσ ὑπερτερίησ ἄμμιν ἔνεστι νόοσ
1166 εὖτ᾽ ἂν ὁδοῦ τελέοισ τέρματά τ᾽ ἐμπορίησ
1168 τῶν δε κακῶν ⟨ἄ⟩νεμοι ⟨δ⟩ειλὰ φέρουσιν ἔπη
1170 γνώση⟨. ἐ⟩πεὶ μεγάλουσ ἤλιτεσ ἀθανάτουσ
1172 ἄνθρωποσ γνώμη πείρατα παντὸσ ἔχει
1174 ⟨ὕ⟩βριοσ οὐλόμενοσ λευγαλέου τε κόρου·
1176 πᾶσα γὰρ ἐκ τούτων κύρνε πέλει κακότησ
1178 ⟨κ⟩ύρνε μεγίστην κεν πεῖραν ἔχῃσ[ει] ἀρετῆσ
556 πρόσ τε θεῶν δ᾽ αἰτεῖν ἔκλυσιν ἀθανάτων
1180 εἴργει μήθ᾽ ἔρδειν μήτε λέγειν ἀσεβῆ
1182 οὐ νέμεσισ πρὸσ θεῶν γίνεται οὐδεμία
1184 ⟨ἄ⟩νδρ᾽ ἐφορῶσ᾽ ὧ μὴ μῶμοσ ἐπικρέμαται
368 οὔτε γὰρ εὖ ἔρδων ἁνδάνω, οὔτε κακῶσ
1186 ⟨ἀ⟩νδράσιν οἳ τούτων ἀμφοτέρων ταμίαι
1188 δυστυχίαν εἰ μὴ μοῖρ᾽ ἐπὶ τέρμα βάλοι
1190 θνητὸσ ἀνὴρ δώροισ βούλομαι προφυγεῖν
1192 τεθνεὼσ ἀλλὰ τί μοι ζῶντι γενοιτ᾽ ἀγαθὸν,
1194 τ⟨ὸ⟩ ξύλον ἢ σκληρὸν γίνεται ἢ μαλακὸν
1196 ἀθανάτουσ κρύψαι χρεῖοσ ὀφειλόμενον
1198 ἤκουσ᾽ ἥτε βροτοῖσ ἄγγελοσ ἦλθ᾽ ἀρότρου,
1200 ὅττι μοι εὐανθεῖσ ἄλλοι ἔχουσιν ἀγρούσ
1202 τῆσ ἄλλησ μνηστῆσ εἵνεκα ναυτιλίησ
1204 οἰμωχθεὶσ ἐπὶ γῆν εἶσι τύραννοσ ἀνὴρ
1206 ⟨ο⟩ὔτε κατὰ βλεφάρων θερμὰ βάλοι δάκρυα
1208 ἀργαλέοσ γαρ ἐὼν καὶ φίλοσ εὖτ᾽ ἂν ἀπῆσ
1210 οἴκῳ πατρώασ γῆσ ἀπερυκόμενοσ
1212 ἄργυρι· σὺ μὲν γὰρ δούλιον ἦμαρ ἔπι
1214 ⟨φ⟩εύγομεν ἀργαλέη δ᾽ οὐκ᾽ ἐπὶ δουλοσύνη,

---

443 κακοῖσι lectio certa est | 100 ἐξοπισω sine accentu | ante versum 1167 scriptum est γνώμη (per compendiu 1167 punctorum ante ἐσθλά superius rubro pictum est, punctorum post ἔργα inferius rubro pictum est | 1178 supra ἔχῃσ scrip esse ει quam οι paulo probabilius est | 1183 ἠέλοιο (sic) | 1184 ὧ (sic) | 1191 (in fine) punctum, quod supra virgulam posi est, rubro pictum est | 1192 γενοιτ᾽ sine accentu | 1195 supra tertiam vocabuli ἐπι litteram et gravis accentus extat et acu

folii 34^r columna I.

5 οὐθ᾽ ἥμᾶσ περνᾶσι· πόλισ δέ μεν ἐστὶ καὶ ἥμῖν
